ἑνδεκάτῳ (οὗτος ὁ μὴν Σαβατ). [15]καὶ ὑπεδέξατο αὐτοὺς ὁ τοῦ 15
Ἀβούβου εἰς τὸ ὀχυρωμάτιον τὸ καλούμενον Δωκ μετὰ δόλου, ὃ
ᾠκοδόμησεν, καὶ ἐποίησεν αὐτοῖς πότον μέγαν καὶ ἐνέκρυψεν ἐκεῖ
ἄνδρας. [16]καὶ ὅτε ἐμεθύσθη Σιμων καὶ οἱ υἱοὶ αὐτοῦ, ἐξανέστη 16
Πτολεμαῖος καὶ οἱ παρ' αὐτοῦ καὶ ἔλαβον τὰ ὅπλα αὐτῶν καὶ
ἐπεισῆλθον τῷ Σιμωνι εἰς τὸ συμπόσιον καὶ ἀπέκτειναν αὐτὸν
καὶ τοὺς δύο υἱοὺς αὐτοῦ καί τινας τῶν παιδαρίων αὐτοῦ. [17]καὶ 17
ἐποίησεν ἀθεσίαν μεγάλην καὶ ἀπέδωκεν κακὰ ἀντὶ ἀγαθῶν. [18]καὶ 18
ἔγραψεν ταῦτα Πτολεμαῖος καὶ ἀπέστειλεν τῷ βασιλεῖ, ὅπως ἀπο-
στείλῃ αὐτῷ δυνάμεις εἰς βοήθειαν καὶ παραδῷ τὴν χώραν αὐτῶν
καὶ τὰς πόλεις. [19]καὶ ἀπέστειλεν ἑτέρους εἰς Γαζαρα ἆραι τὸν Ιω- 19
αννην, καὶ τοῖς χιλιάρχοις ἀπέστειλεν ἐπιστολὰς παραγενέσθαι πρὸς
αὐτόν, ὅπως δῷ αὐτοῖς ἀργύριον καὶ χρυσίον καὶ δόματα, [20]καὶ 20
ἑτέρους ἀπέστειλεν καταλαβέσθαι τὴν Ιερουσαλημ καὶ τὸ ὄρος
τοῦ ἱεροῦ. [21]καὶ προδραμών τις ἀπήγγειλεν Ιωαννη εἰς Γαζαρα 21
ὅτι ἀπώλετο ὁ πατὴρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ ὅτι Ἀπ-
έσταλκεν καὶ σὲ ἀποκτεῖναι. [22]καὶ ἀκούσας ἐξέστη σφόδρα καὶ συν- 22
έλαβεν τοὺς ἄνδρας τοὺς ἐλθόντας ἀπολέσαι αὐτὸν καὶ ἀπέκτεινεν
αὐτούς· ἐπέγνω γὰρ ὅτι ἐζήτουν αὐτὸν ἀπολέσαι.
[23]Καὶ τὰ λοιπὰ τῶν λόγων Ιωαννου καὶ τῶν πολέμων αὐτοῦ 23
καὶ τῶν ἀνδραγαθιῶν αὐτοῦ, ὧν ἠνδραγάθησεν, καὶ τῆς οἰκοδομῆς
τῶν τειχῶν, ὧν ᾠκοδόμησεν, καὶ τῶν πράξεων αὐτοῦ, [24]ἰδοὺ ταῦτα 24
γέγραπται ἐπὶ βιβλίῳ ἡμερῶν ἀρχιερωσύνης αὐτοῦ, ἀφ' οὗ ἐγενήθη
ἀρχιερεὺς μετὰ τὸν πατέρα αὐτοῦ.

14 fin. σαββατ SLa† || 15 το 2⁰] pr. εις S† || 16 παρ] μετ A | απεκτειναν] -νον S† | δυο > A | τινας] ς > S*† || 17 αθεσιαν] σ > A | απεδωκεν] pr. αντ A || 18 τω βασ. οπως αποστ. αυτω] ταυτα οπως τω βασ. (sic) S*† | την χωραν αυτων και τας πολεις] τας πολ. αυτω και την χωρ. SV†, τας πολ. αυτων και τας φορας La† || 19 γαζαρα] + ν S*pau.: sic pau. in 21 | και χρυσιον > S*† || 21 τις > A || 22 επεγνω] επ > A | εζητουν] -τουσαν A† || 24 επι βιβλιου A

Subscr. μακκαβαιων α' A, μακκαβαικων α' S†: cf. inscr.

## ΜΑΚΚΑΒΑΙΩΝ Β'

[1]Τοῖς ἀδελφοῖς τοῖς κατ' Αἴγυπτον Ιουδαίοις χαίρειν οἱ ἀδελφοὶ 1
οἱ ἐν Ιεροσολύμοις Ιουδαῖοι καὶ οἱ ἐν τῇ χώρᾳ τῆς Ιουδαίας εἰρή-

Mac. II: A. — *L* = 64 236 al., cf. Kappler(cf. inf.) p. 67; codices 19 93 al. (Kappler „*l*") neglegere soleo. — de La cf. Mac. I. — Kappler = Vernerus Kappler De memoria alterius libri Maccabaeorum (Diss. Gott. 1929).

Insсr. μακ(κ)αβαιων β' AV: cf. subscr.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1151 UNIVERSITÄT LEIPZIG